ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΤΗΝ ΕΠΙΚΑΛΟΥΜΕΝΗΝ

Χ Ι Λ Ι Α Δ Ο Υ

Ἧς τὸ ἱερὸν ἔκτυπον θησαυρίζεται ἐν τῷ παλαιφάτῳ ναῷ τῆς Ἱερᾶς Μονῆς τῶν Χαράδρων, (νῦν Μετοχίῳ τῆς Ἱερᾶς Μονῆς Μακρυμάλλης), τῶν Διρφύων Εὐβοίας.

*

*

* * * * *

*

*

ΑΘΗΝΑΙ 2000

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

ΤΗΝ ΕΠΙΚΑΛΟΥΜΕΝΗΝ

Χ Ι Λ Ι Α Δ Ο Υ

Ἧς τὸ ἱερὸν ἔκτυπον θησαυρίζεται ἐν τῷ παλαιφάτῳ ναῷ τῆς Ἱερᾶς Μονῆς Χαράδρων, (νῦν Μετοχίῳ τῆς Ἱερᾶς Μονῆς Μακρυμάλλης), τῶν Διρφύων Εὐβοίας.

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

****

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον μεθ' ὅ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·

Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Χιλιαδοῦ περικλεές, Θεοτόκε,
τὴν χαριτόβρυτον, σεπτήν σου εἰκόνα,
ἐν τῶν Διρφύων ἄλσεσι τὴν θρόνον λαμπρὸν
ἔχουσαν, ἀείποτε οἱ πιστοὶ προσκυνοῦντες
κράζομεν· ὁδήγησον πρὸς λειμῶνας παντέρπνους
καὶ δασυσκίους, Δέσποινα, δρυμοὺς
χαρᾶς ἀφθίτου τοὺς σὲ μακαρίζοντας.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·

σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·

" Χιλιαδοῦ Θεοτόκε, εὐλόγει Χαραλάμπη Μ. "

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Χριστοῦ θρόνε ἔμψυχε, Μαριάμ,
Κεχαριτωμένη
Θεοτόκε, Χιλιαδοῦ,
εἰκόνα τῆν θείαν σου τοὺς πόθῳ
ἀσπαζομένους δεινῶν ἀπολύτρωσαι.

Ἴλύϊ παθῶν μου, Χιλιαδοῦ,
συγκεκαλυμμένον
καὶ βορβόρῳ τῶν ἡδονῶν
σπιλούμενον κάθαρόν με, κράζω,
ὡς ἀγαθή μου προστάτις, Μητρόθεε.

Λαμψάτω νῦν, Μῆτερ Χιλιαδοῦ,
ἡ σὴ εὐσπλαγχνία
ἡ ἀμέτρητος ἐφ' ἡμᾶς
τοὺς πίστει ναῷ σου προσιόντας
ἐν τοῖς δρυμοῖς τῶν Διρφύων καὶ ἄλσεσιν.

Ἱκάνωσον πάντας, Χιλιαδοῦ,
τοὺς ἀσπαζομένους
τὴν εἰκόνα σου τὴν σεπτὴν
πατῆσαι ἐχθροῦ τὴν δυναστείαν
τοῦ μιαροῦ και δεινοῦ πολεμήτορος.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἁμαρτίαις ἀτόποις,
Χιλιαδοῦ Δέσποινα,
τὴν κυριευθεῖσαν καρδίαν
σῶσον τοῦ δούλου σου,
ἡ σαρκωθέντα ἡμῖν
Θεὸν κυήσασα ξένως,
ἵνα μακαρίζω σε,

Θεογεννήτρια.

Δεῦτε, πάντες συμφώνως
οἱ εὐσεβεῖς σπεύσωμεν
τῆς Χιλιαδοῦς ἀνυμνῆσαι
ἄκραν συμπάθειαν
καὶ ἀρωγὴν πρὸς ἡμᾶς
τοὺς προσκυνοῦντας ἐκ πόθου
τὸ αὐτῆς ἐκτύπωμα
τὸ θαυματόβρυτον.

Οὐρανῶν ὑπερτέρα,
ὁ τοῦ Θεοῦ πάγχρυσος
θρόνος καὶ φωτὸς ἡ νεφέλη,
φώτισον ὄμματα
ψυχῆς μου, Χιλιαδοῦ,
καὶ τῆς ἀχλύος παθῶν μου
τὴν καρδίαν κάθαρον
δούλου ἀχρείου σου.

Ὑπερύμνητε Μῆτερ,
Χιλιαδοῦ, πρόσδεξαι
τὰς δεήσεις τῶν οἰκετῶν σου
καὶ ὡς θυμίαμα
αὐτὰς εὐῶδες ταχὺ
τῷ σῷ Υἱῷ καὶ Δεσπότῃ
καὶ Θεῷ προσάγαγε,
ἵνα ὑμνῶμέν σε.

Διάσωσον,
Χιλιαδοῦ Θεοτόκε, τοὺς σοὺς οἰκέτας
ἐξ ἀνάγκης καὶ πειρασμῶν καὶ βλάβης καὶ θλίψεων,
Διρφύων προστάτις καὶ ἀντιλῆπτορ.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Πηγὴ ἀγαθῶν, Χιλιαδοῦ, ἀκένωτος
ἐδόθη ἡμῖν εἰκών σου ἡ πανσέβαστος,
ἣν πιστῶς ἀσπαζόμενοι
ἐν ναῷ παλαιφάτου σεμνείου σου
ἐν τῷ Διρφύων δήμῳ χαρμονῆς
ἀφάτου , Παρθένε, ἐμπιπλάμεθα.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Θεοτόκε Παντάνασσα,
τὸν Παμβασιλέα χερσίν ἁγίαις σου
ἡ βαστάσασα, εἰς βόθυνον
μὴ ἁμαρτιῶν πεσεῖν ἐάσῃς με.

Εὐσυμπάθητε Δέσποινα,
τῶν Διρφύων κλέος, χαρὰ καὶ στήριγμα,
νῦν, Χιλιαδοῦ, τοὺς σπεύδοντας
σοῦ τῇ ἀντιλήψει ῥῦσαι θλίψεων.

Ὄρος Δίρφυος γάννυται,
Στρόπωνες, Μετόχιον, ἅμα Λάμαρη
καὶ ὁ Κούτουρλας ἀγάλλεται
σῷ, Χιλιαδοῦ, εὐσπλάγχνῳ ὄμματι.

Τὴν ἁγίαν εἰκόνα σου
ἐν ναῷ πανσέπτῳ σου ἀσπαζόμενοι,
Θεοδώρα ὃν ἡ ἄνασσα
ἔκτισε ποτέ, λαμπρῶς ὑμνοῦμέν σε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Οἱ ἐν συμφοραῖς
καὶ ἀνάγκαις καταφεύγομεν
ἀρωγῇ σου ταχινῇ, Χιλιαδοῦ
θαυμαστή, καὶ ἀληθῶς οὐκ αἰσχυνόμεθα.

Κλῖμαξ νοητὴ
πρὸς Παράδεισον ἀπάγουσα,
σωτηρίας μοι ὁδόν, Χιλιαδοῦ,

δεῖξον δούλῳ σου τῷ σπεύδοντι σῇ χάριτι.

Ἐν τῇ φοβερᾷ
σοῦ οἰκέτου ὥρᾳ φάνηθι
τοῦ θανάτου, ἀγλαὴ Χιλιαδοῦ,
καὶ δαιμόνων με χειρῶν ταχὺ ἐξάρπασον.

Ἔχομεν ἀεὶ
τὸν ναόν σου καταφύγιον

οἱ σκηνοῦντες ἐν Διρφύων τοῖς δρυμοῖς,
ἀγαθὴ Χιλιαδοῦ, Θεογεννήτρια.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Ὑμνοῦντές σε ὡς χαρίτων τέμενος
καὶ θαυμάτων ἀκεσώδυνον κρήνην
τῇ χάριτί σου προσφεύγομεν πάντες,
Χιλιαδοῦ Θεοτόκε, οἱ στένοντες
καὶ οὐρανίου χαρμονῆς,
Παναγία Παρθένε, πληρούμεθα.

Λυτρώσεως τῶν μερόπων πρόξενε
ἐν θανάτου αἰωνίου, Παρθένε,
Χιλιαδοῦ, εὐλαβῶς προσκυνοῦντες
τὴν σὴν ἁγίαν εἰκόνα κραυγάζομεν·
ἐκ τῆς μανίας τοῦ ἐχθροῦ
ἀπολύτρωσαι τοὺς ἀνυμνοῦντάς σε.

Ὁλόφωτον τῶν Διρφύων πύρσευμα
καὶ Εὐβοίας χρυσοπόρφυρον στέμμα,
Χιλιαδοῦ Θεοτόκε, σκοτείαν
παραπτωμάτων σῶν δούλων ἀπέλασον
καὶ πρὸς τὸ ἄδυτον τὸ Φῶς
φωτειναῖς σου λιταῖς τούτους ἴθυνον.

Γηθόμενοι τῶν πιστῶν οἱ σύλλογοι
προσερχόμεθα τῷ θείῳ ναῷ σου,
Χιλιαδοῦ, καὶ σὴν θείαν εἰκόνα
περιχαρῶς ἀσπαζόμενοι κράζομεν·

μὴ παύσῃ ἄνωθεν ἡμᾶς
ἐποπτεύουσα τοὺς σοὶ προσφεύγοντας.

Διάσωσον,
Χιλιαδοῦ Θεοτόκε, τοὺς σοὺς οἰκέτας
ἐξ ἀνάγκης καὶ πειρασμῶν καὶ βλάβης καὶ θλίψεων,
Διρφύων προστάτις καὶ ἀντιλῆπτορ.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Τῆς προστασίας σου θείοις πυρσεύμασι,
Χιλιαδοῦ Θεοτόκε, ἀείποτε
λαμπρύνεις πιστῶν τὰ συστήματα
καὶ διαλύεις τὸν ζόφον τῶν θλίψεων
τῶν ὁμολογούντων τὴν χάριν σου.

Προκείμενον. Μνησθήσομαι τοῦ ὀνοματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχος. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. α΄ 39 - 49, 56).
Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριαμ,....

Δόξα. Ταῖς τῆς Παντανάσσης πρεσβείαις,
Ἐλεῆμον,...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις,
Ἐλεῆμον,...

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Χάριν ἀρυόμεθα
ὡς ἐκ πηγῆς ἀκενώτου,
ἐκ τοῦ ἐκτυπώματος
τοῦ σεπτοῦ σου, Δέσποινα,
καὶ κραυγάζομεν·
ὄλβε πολύτιμε
δήμου τῶν Διρφύων,
θαυματόβρυτε Παντάνασσα,
καὶ μάνδρας σέμνωμα

τῶν Χαράδρων, πλῆσον καρδίαν μου
χαρᾶς δεινὴν σκοτόμαιναν
θλίψεων ταχὺ ἀπελαύνουσα
ἐκ τοῦ σοῦ οἰκέτου,
πιστῶν καταφυγή, Χιλιαδοῦ,
παραμυθία, ἀντίληψις,
σκέπη καὶ κραταίωμα.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου.....

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἔκ χειμῶνος τὸ ἔαρ
ὡς προέρχεται, Μῆτερ Θεογεννήτρια,
καὶ ἐκ τῆς τρικυμίας
ἡ ποθεινὴ γαλήνη,
οὕτω ἔαρ ἀνάτειλον
τῷ ἐν χειμῶνι παθῶν
σῷ δούλῳ μετανοίας.

Ἱλαστήριον κόσμου,
Χιλιαδοῦ πάνσεμνε,
ἵλεων ἡμῖν τὸν Υἱόν σου
πᾶσιν ἀπέργασαι
τοῖς προσκυνοῦσι πιστῶς
τὴν ἱεράν σου εἰκόνα
καὶ ζητοῦσι χάριν σου
τὴν ὑπὲρ ἔννοιαν.

Χαῖρε, ῥῦστις Διρφύων
ἐκ συμφορῶν, Δέσποινα,
καὶ ἀκέστορ πάσης Εὐβοίας,
Θεογεννήτρια,
Χιλιαδοῦ θαυμαστή,
πανευλαβῶς ἐκβοῶμεν
καὶ τὴν σὴν ἀντίληψιν
ἀπεκδεχόμεθα.

Ἀειπάρθενε Μῆτερ,
Θεοῦ λαμπρὸν σκήνωμα,
χρόνῳ πανδαμάτορι θεῖον
τὸν ἀνθιστάμενον

περικαλλῆ σου ναὸν,
Χιλιαδοῦ, οἱ σοὶ δοῦλοι
χάριν σου λαμβάνομεν
ἐπισκεπτόμενοι.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ῥανίδα στάξον
τῷ σῷ οἰκέτῃ ἐλέους
καὶ παθῶν μου ἀπέλασον ζόφον,
ἡ ἐλέους κρήνην,
Χιλιαδοῦ, τεκοῦσα.

Αἰχμαλωσίας,
Χιλιαδοῦ, καὶ πολέμου
ἐμφυλίου ἐκλύτρωσαι πάντας
σὲ ὑμνολογοῦντας
ὡς θέμεθλον εἰρήνης.

Λαὲ Κυρίου,
Χιλιαδοῦς τὴν εἰκόνα
τὴν σεπτὴν προσκυνήσωμεν πόθῳ
τὴν ἐνθρονισμένην
ἐν τοῖς δρυμοῖς Διρφύων.

Ἀποπλυνόν μου
παραπτωμάτων τὸν ῥύπον
τῷ ὑσσώπῳ θερμῶν πρεσβειῶν σου
πρὸς Χριστόν, τὸν θεῖον,
Χιλιαδοῦ, Υἱόν σου.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Μετὰ Σικελιώτου,
θείου Νικολάου,
ἐν τῇ μονῇ σου ὁσίως ἀσκήσαντος,
Χιλιαδοῦ, ὑπὲρ πάντων Χριστὸν ἱκέτευε.

Περιωδύνους, Μῆτερ,

δούλων σου καρδίας,
Χιλιαδοῦ, σαῖς πρεσβείαις θεράπευσον
καὶ πειρασμῶν τὴν ὁμίχλην ἡμῶν ἀπέλασον.

Ἡ τῆς μονῆς Χαράδρων
ἔφορος καὶ πάντων
ἐρημιτῶν τῆς Εὐβοίας ἀντίληψις,
Χιλιαδοῦ, κλονουμένους σοὺς δούλους στήριξον.

Μὴ παύσῃ οὐρανόθεν
σὺν ὁσίων δήμοις,
Χιλιαδοῦ, ἐν Εὐβοίας τοῖς ἄλσεσι
τῶν ἀσκησάντων σοὺς δούλους κατεποπτεύουσα.

Ἄξιόν ἐστι**.....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις, Θεοτόκε Χιλιαδοῦ,
τῆς μονῆς Χαράδρων
ἐγκαλλώπισμα ἱερόν,
χαίροις, τῶν Διρφύων
ἀκέστορ καὶ προστάτις

καὶ πάσης τῆς Εὐβοίας
ὄλβε ἀτίμητε.

Δεῦτε, προσκυνήσωμεν εὐλαβῶς
τὴν σεπτὴν εἰκόνα
Θεοτόκου Χιλιαδοῦς
τεθησαυρισμένην
ἐν τῷ αὐτῆς τεμένει
ἐν τοῖς δρυμοῖς Διρφύων,
τὴν θαυματόβρυτον.

Χαίροις, ἡ Παντάνακτα Ἰησοῦν
φέρουσα ὡς βρέφος
ἐν ἀγκάλαις σου μητρικαῖς,
Ἄνασσα τῶν πάντων,
Χιλιαδοῦ Παρθένε,
ἡ ἔνθρονος Κυρία
τοῦ Παντοκράτορος.

Πλήρου τὰ αἰτήματα συμπαθῶς
τῶν προσερχομένων
ἐν ναῷ σου περικαλλεῖ
καὶ σὴν ἐκζητούντων,Χιλιαδοῦ Παρθένε,
πρὸς Κτίστην μεσιτείαν
τὸν πανευΐλατον.

Ἣν ἡ Θεοδώρα ἡ Βασιλὶς
ἤγειρε μονήν σου
ἐν Διρφύοις, Χιλιαδοῦ,
καὶ ὁ πανδαμάτωρ
ἣν χρόνος ἐδαφίσαι,
Παρθένε,ἐπιμένει
στήριζε ἄτρωτον.

Σκέπε τοὺς τιμῶντας πανευλαβῶς
σέ, Θεοκυῆτορ,
καὶ εἰκόνα σου τὴν σεπτὴν
κατασπαζομένους,
Χιλιαδοῦ, ἐν πίστει,
τὴν θρόνον ἐν Εὐβοίας
φάραγξιν ἔχουσαν

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὴν λαμπρῶς ὑμνουμένην ὑπὸ τῶν ἄλσεων
καὶ τῶν δρυμῶν τῶν Διρφύων,
Κυρίαν Χιλιαδοῦ,
ἐμπνοαῖς ἐν ἀρωμάτων μεγαλύνωμεν
καὶ προσκυνήσωμεν πιστῶς
τὴν αὐτῆς θαυματουργὸν

εἰκόνα τρανῶς βοῶντες·
ἐν ἠρεμίᾳ τὸν βίον
ἡμᾶς ἀνύειν καταξίωσον.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·
Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Πάντας, ἀγαθὴ Χιλιαδοῦ,
κατασπαζομένους ἐκθύμως
τὴν σὴν ἁγίαν μορφὴν
ῥῦσαι βλάβης, θλίψεων,
δεινῆς στενώσεως,
ἐπηρείας τοῦ δαίμονος,
κακίας καὶ πλάνης,
ἵνα σε δοξάζωμεν,
Κυρία Δέσποινα,
τὴν ὑπὸ πτηνῶν ὑμνουμένην
ἐν δρυμοῖς Διρφύων παντέρπνοις,
ἔνθα θρόνον ἔχεις εὐσκιόφυλλον.

Δέσποινα, πρόσδεξαι.....

Τὴν πᾶσαν ἐλπίδα μου....

Δίστιχον

Χιλιαδοῦ Μῆτερ, Χαραλάμπη πλῆσον
σὲ ὑμνολογοῦντα χαρᾶς τῆς ἀλήκτου.

Τ Ε Λ Ο Σ Κ Α Ι Δ Ο Ξ Α Τ ΩΙ Μ Ο Ν ΩΙ Α Λ Η Θ Ι Ν ΩΙ Θ Ε ΩΙ Η Μ Ω Ν

ΤΡΟΠΑΡΙΑ

ΠΑΝΑΓΙΑΣ ΧΙΛΙΑΔΟΥΣ

Ψαλλόμενα ἐν πάσῃ περιστάσσει.
Στιχηρὰ Προσόμοια.
Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Δεῦτε, πάντες φιλέορτοι,
εὐλαβῶς ἀσπασώμεθα

τὴν σεπτὴν εἰκόνα τῆς Θεομήτορος,
τῆς ἀκοιμήτου προστάτιδος
Διρφύων κραυγάζοντες·
ἀγαλὴ Χιλιαδοῦ,
μὴ ἐλλίπῃς ἑκάστοτε ἐποπτεύουσα
οὐρανόθεν προσφύγων σου χορείαν
κοπιάζουσαν εἰς μάνδραν
φθάσαι τὴν σὴν θεοφρούρητον.

Θεοτόκε Παντάνασσα,
ἡ τὸν Κύριον φέρουσα
καὶ Παμβασιλέα χερσὶν ἁγίαις σου,
τοὺς προσκυνοῦντας εἰκόνα σου
βλυστάνουσαν νάματα
ἰαμάτων δαψιλῶς
τῆς μανίας ἀπάλλαξον
τοῦ ἀλάστορος
καὶ εἰρήνης αὐτῶν καρδίας πλῆσον,
ἣν ὁ Τόκος σου βραβεύει
ἀεὶ τοῖς σὲ μακαρίζουσι.

Τῷ ναῷ τῷ πανσέπτῳ σου,
Θεοδώρα ἡ ἄνασσα
ὃν ἐν τοῖς Διρφύων δρυμοῖς ἐδόμησε,
πανευλαβῶς προσπελάζοντες
βοῶμεν· πανύμνητε
καὶ σεμνὴ Χιλιαδοῦ,
ἡ προκρίνασα θρόνον σου
ἔχειν πάγκαλον
ἐν ταῖς φάραγξι τοῖς δυσπροσπελάστοις
καὶ δρυμοῖς τοῖς δασυσκίοις,
σκέπε πιστοὺς ἀνυμνοῦντάς σε.

Ἕτερα. Ἦχος α΄. Ὦ, τοῦ παραδόξου θαύματος!

Σήμερον, πιστοί, συνδράμωμεν
Χιλιαδοῦς τῆς σεμνῆς
τῷ ναῷ γηθόμενοι
καὶ ᾄσμασι μελιχροῖς
εὐχαριστήσωμεν
Παντάνασσαν τὴν λαμπράν,
οἱ ἐν Διρφύοις, ἡμῶν τὴν ἀκοίμητον

προστάτιν καὶ βοηθὸν
τὴν περισκέπουσαν πάντας ἑκάστοτε,
Κεχαριτωμένη, χαῖρε,
ἐκβοῶντες, Δέσποινα,
ἡ πληροῦσα ταχέως
τῶν σῶν δούλων τὰ αἰτήματα.

Ἡ τοῦ Βυζαντίου Ἄνασσα
πρὸ αἰώνων πολλῶν,
Θεοδώρα, ἔκτισε
ναόν σου τὸν ἱερὸν
καὶ θεοφρούρητον,
Παρθένε Χιλιαδοῦ,
ἐν ᾧ ἐκτύπωμα σὸν θησαυρίζεται,
βλυστάνον ἀεὶ πιστοῖς,
ὥσπερ πηγὴ θαυμασίων ἰάματα,
τοῖς ἀσπαζομένοις πόθῳ
τούτῳ καὶ κραυγάζουσιν·
ἴσθι πάντων σῶν δούλων
βοηθὸς θερμὴ καὶ στήριγμα.

Δέχου εὐμενῶς τὴν δέησιν
τῶν προσφύγων τῶν σῶν,
Παναγία Δέσποινα,
Κυρία Χιλιαδοῦ,
Διρφύων κόσμημα
τῶν πίστει σῇ ἀρωγῇ
καὶ ἀντιλήψει σπευδόντων ἑκάστοτε
καὶ ταύτην τῷ σῷ Υἱῷ
καὶ Λυτρωτῇ ὁλοθύμως προσάγαγε
ἡμῶν, ἵνα τοῦ παρόντος
βίου πάντες στάδιον
εὐσεβῶς καὶ δικαίως
καὶ σωφρόνως διανύσωμεν.

Δόξα. Ἦχος πλ. β΄.

Τὴν Παντάνασσαν τῶν Διρφύων
καὶ μονῆς Χαράδρων τὸ καύχημα
πανευλαβῶς συνελθόντες, Χιλιαδοῦ, νῦν
εὐφημήσωμεν·
εἰκὼν γὰρ αὐτῆς ἡ καλλίμορφος

καταγλαΐζει ἐπιστασίας ἀκτῖσι τὴν Εὔβοιαν,
ἐν κόλποις αὐτὴν θησαυρίζουσα·
ἀρχαγγελικὸν οὖν ὕμνον αὐτῇ ἀναμέλψωμεν
τῇ παρεχούσῃ ἀφθόνως ἡμῖν
τὸ πλούσιον τοῦ Υἱοῦ αὐτῆς ἔλεος.

Εἰς τὴν Λιτήν. Ἰδιόμελον. Ἦχος α΄.

Σκίρτα ὄρος τῆς Δίρφυος καὶ χόρευε
καὶ σταλάξατε βουνοὶ τῆς Εὐβοίας γλυκασμὸν
τῆς ἁγνῆς Χιλιαδοῦς Παρθένου σήμερον
τελοῦντες θαυμασίων τὴν σύναξιν·
αὕτη γὰρ ἔφορος πέλει ἀνύστακτος
καὶ φρουρὸς καὶ ἀντίληψις τῶν αὐτῆς ἀσπαζομένων
τὸ ἔκτυπον
καὶ ἰάτειρα τῶν ἐν κλίναις ἀσθενείας
κατακειμένων·
αὐτῆς οὖν ψαλμοῖς καὶ ὕμνοις αἰνοῦντες τὴν
ταχινὴν βοήθειαν
καὶ γλυκεῖαν παραμυθίαν
τὰς πρὸς Κύριον, τὸν μονογενῆ αὐτῆς Υἱὸν
πρεσβείας ἐκζητήσωμεν.

Ἀπόστιχα. Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, ἡ ἐκ φορτίου ἡμᾶς,
Χιλιαδοῦ, ψυχοβλαβοῦς ἀπογνώσεως
καθέλκουσα, Θεοτόκε,
πρὸς βάραθρον ἀχανὲς
ῥίπτουσα σοὺς δούλους
καταφεύγοντας
τῇ σῇ θείᾳ χάριτι
καὶ πιστῶς τὴν εἰκόνα σου
ἀσπαζομένους
ἐν ναῷ τῷ πανσέπτῳ σου,
ὃν ἐδόμησε
Θεοδώρα ἡ ἄνασσα
ἐν τοῖς Διρφύων ἄλσεσι,
πανύμνητε Δέσποινα,
ἵνα ὑμνῆται ἡ δόξα
εἰς τὸν αἰῶνα τὸν ἅπαντα

ἡ σὴ ὑπ' ἀνθρώπων,
λαλιῶν πτηνῶν καὶ αὔρας
τοῦ δάσους, πάνσεμνε.

Στίχος. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Χαίροις, Χιλιαδοῦ θαυμαστή,
ἡ ἐπηρείας τοῦ ἐχθροῦ ἀπαλλάττουσα
τοὺς πίστει ἀσπαζομένους
τὴν ἱλαράν σου μορφήν,
Μῆτερ τοῦ Ὑψίστου,
ἀπειρόγαμε·
βεβαία ἀντίληψις
καὶ ἐλπὶς ἀκαταίσχυντος
πέλεις τῶν δήμων
χριστωνύμων τῆς Δίρφυος
ἐκζητούντων σου
τὴν ἐξ ὕψους βοήθειαν
καὶ πόθῳ ἀνυμνούντων σου
θαυμάτων τὴν πλήμμυραν
καὶ σῆς ἀφάτου προνοίας
τὸ ἀχανέστατον πέλαγος·
διὸ εἰς αἰῶνας
ὕμνοις μεγαλύνομέν σε,
Θεογεννήτρια.

Στίχος. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Παῦσον τὴν καθ' ἡμῶν τῶν παθῶν
κυμαινομένην, Μητροπάρθενε, θάλασσαν,
ἰθύντειρα τῶν σῶν δούλων
ἀπλανεστάτη, ἁγνή,
καὶ πρὸς ὅρμον θεῖον
καθοδήγησον
τοὺς σοὶ καταφεύγοντας
καὶ μορφὴν τὴν ἁγίαν σου
ἀσπαζομένους
ἐν ναῷ τῷ ἁγίῳ σου
τῷ ἐν φάραγξι
τῆς Εὐβοίας ὑπάρχοντι,

Χιλιαδοῦ πανύμνητε,
Παντάνασσα Δέσποινα,
ἵνα τὴν σὴν ἀνυμνῶμεν
ποδηγεσίαν, θεόνυμφε,
καὶ σὴν προστασίαν,
ἣν δεικνύεις καθ' ἑκάστην
βροτῶν τοῖς τάγμασι.

Αἶνοι. Ἦχος α΄. Ὦ, τοῦ παραδόξου θαύματος.

Ὄμμα τῆς ψυχῆς μου, Ἄνασσα
Χιλιαδοῦ, νῦν πρός σὲ
ἀνατείνων ὁ δείλαιος
τῷ Υἱῷ τῷ θείῳ σου
καὶ Σωτῆρί μου, πάνσεμνε,
ἐν κατανύξει
κραυγάζω· Κύριε,
σεπταῖς μητρός σου
πρεσβείαις οἴκτειρον,
μόνε Φιλάνθρωπε,
τὸν ἀχρεῖον δοῦλόν σου καὶ τὰς πολλὰς
ἁμαρτίας ἄφες μοι,
Χριστέ, Θεάνθρωπε.

Πάντων τῷ ναῷ τῷ θείῳ σου
χρεωστικῶς, ἀγαθή,
προστρεχόντων ἑκάστοτε
πλήρου τὰ αἰτήματα
καὶ τὰ δάκρυα πρόσδεξαι
ὡς ὁ Υἱός σου
Χριστὸς ὁ Κύριος
λεπτὰ τῆς χήρας,
Θεογεννήτρια,
ἵνα δοξάζωμεν
τὴν πολλήν σου εὔνοιαν, Χιλιαδοῦ,
πρὸς οἰκτροὺς οἰκέτας σου,
θεομακάριστε.

Πλῆσον, Μῆτερ, κατανύξεως,
Χιλιαδοῦ, τὴν ψυχὴν
τοῦ ἀνάγνου οἰκέτου σου,
ὅπως βρέχω πάντοτε

ταῖς ῥοαῖς τῶν δακρύων μου
τὸν ἐν Διρφύοις
ναόν σου, πάνσεμνε,
αἰῶνας ἤδη
τὸν ἀνθιστάμενον
τῷ πανδαμάτορι
χρόνῳ, Μητροπάρθενε, καὶ τῶν παθῶν
ὅπως πλύνω βόρβορον
τὸν δυσωδέστατον.

Χαῖρε, Θεοτόκε, Δέσποινα,
Χιλιαδοῦ ἀγαθή,
τὸν Παντάνακτα Κύριον
ἐν χερσὶ βαστάζουσα,
ὦ πρεσβεύεις ἀείποτε
ἡμῖν διδόναι
τοῖς προσκυνοῦσί σε
ψυχῆς εἰρήνην,
ἄμφω ὑγίειαν,
σθένος καὶ δύναμιν
ἐδαφίσαι φρύαγμα τοῦ πονηροῦ
καὶ δεινοῦ ἀλάστορος
τοῦ πολεμοῦντός με.

Δόξα. Ἦχος πλ. α΄.

Ῥεῖθρα ἰάσεων ἡμῖν ἀναπηγάζεις
ὡς ἀστείρευτος χειμάῤῥους, Χιλιαδοῦ Παρθένε·
τῇ γὰρ σῇ ἄκρ·α εὐσπλαγχνίᾳ
ἐλεεῖς ἀπαύστως τοὺς ἀσπαζομένους μορφὴν τὴν
ἁγίαν σου·
διὸ καὶ πιστῶν τῶν σὲ μεγαλυνόντων
λῦσον λυπηρῶν παρενοχλούντων
ἀχλὺν πρεσβείαις σου.

Δίστιχον

Χαῖρε, Χιλιαδοῦ, Παντάνασσα γλυκεῖα,
Διρφύων προστάτις, Χαραλάμπης κράζει.

Τ Ε Λ Ο Σ Κ Α Ι Δ Ο Ξ Α

Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω

Θ Ε Ω Η Μ Ω Ν